eul_wid: oqu-ae

*Φρύνιχος ὁ Βιθυνός* · Phrynichus of Bithynia

# Selections

*Ἐκλογαί*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Ἀττικίζουσα* Atticizing
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πραγματεία* Treatise

4 Ὑπόδειγμα οὐκ ὀρθῶς, παράδειγμα δέ. Ἐμπτύει μου μὴ λέγε, ἀλλὰ καταπτύει μου.

10 Εὐχαριστεῖν μὴ λέγε, ἀλλὰ χάριν εἰδέναι. Ἄρτι ἥξω μὴ εἴπῃς, ἀλλ᾽ ἄρτι ἀφικόμην.

12 Τέμμαχος κρέως ἢ ἄρτου ἢ πλακοῦντος μὴ λέγε, ἀλλὰ τόμος· τὸ δὲ τέμμαχος ἐπὶ ἰχθύος μόνον. Ἄμυναν μὴ εἴπῃς, ἀλλὰ ἀμύνασθαι.

15 Σημῆναι, καθῆραι, θερμῆναι διὰ τοῦ η. Διωρία ἀδόκιμον, προθεσμία δέ.

20 Σπῖλος μὴ λέγε, κηλὶς δέ. Πίομαι καὶ πιοῦμαι.

30 Ἡνίκα μὴ εἴπῃς ἀντὶ τοῦ πότε· ἔστι γὰρ ὥρας δηλωτικόν, οἷον εἰπόντος τινὸς „πηνίκα ἀποδημήσεις;“, ἐὰν εἴπῃς „μετὰ δύο ἢ τρεῖς ἡμέρας“, οὐκ ὀρθῶς ἐρεῖς, ἐὰν δὲ εἴπῃς „ἕωθεν“ ἢ „περὶ μεσημβρίαν“, ὀρθῶς. Ὀρθρινὸς οὔ, ὄρθριος δὲ καὶ ὄψιος ἄνευ τοῦ ν.

36 Ποταπὸς ἐπὶ τρόπου, οἷον „ποταπὸς Φρύνιχος;“ „ἐπιεικής“· ποδαπὸς δὲ ἐπὶ γένους, οἷον „ποδαπός ἐστιν;“ „Θηβαῖος ἢ Ἀθηναῖος“. ἔστι γὰρ ἐκ τίνος δαπέδου. Πεινῆν, διψῆν διὰ τοῦ η.

44 Αὐθαδίζεσθαι, μὴ ἀναιδεύεσθαι. Τελευταῖον· οὐ τευτάζειν—σὺ δ᾽ ὁ πάντα ἀκριβῶν καὶ τοῖς μακρῷ σου σοφωτέροις ἐπιτιμῶν ῥᾳδίως, τῷ ποτε τῶν καθαρῶς φωνὴν Ἑλλάδα ἀφιέντων τευτάζειν λέγοντι ἐνέτυχες; Βεβίασται ἡ κόρη, οὐκ ἔφθαρται.

50 Κόριον, ἢ κορίδιον, ἢ κορίσκη· τὸ δὲ κοράσιον παράλογον. Ἡ ὕσπληγξ, οὐχ ὁ ὕσπληγξ.

49 Ἰλὺς ποταμοῦ, τρὺξ δὲ οἴνου ἢ ὑποστάθμη. Κακοδαιμονᾶν διὰ τοῦ α· εὐδαιμονεῖν διὰ διφθόγγου· εὐδαιμονοῦσι διὰ τῆς ου, κακοδαιμονῶσι δὲ διὰ τοῦ ω μεγάλου.

55 Κόρημα, οὐχὶ σάρον· καὶ κορεῖν καὶ παρακορεῖν, οὐχὶ σαροῦν. Ἀφῆλιξ παρὰ τοῖς ἀρχαίοις ὁ πρεσβύτερος.

64 Ἀκέστης, οὐχ ἠπήτης· καὶ ἀκέσασθαι τὸ ἱμάτιον, οὐχ ἠπήσασθαι. Ἀγαθὸς μᾶλλον καὶ ἀγαθὸς μάλιστα, μὴ ἀγαθώτερος καὶ ἀγαθώτατος.

70 Γλωττοκομεῖον, οὐ γλωσσόκομον. Βραδύτερον, οὐ βράδιον.

72 Γρυλίζειν καὶ γρυλισμὸς συῶν, οὐ γρυλλισμὸς διὰ δύο λλ. Γογγυλὶς τὸ λάχανον, οὐ γογγύλη.

78 Ἀποκριθῆναι τὸ διαχωρισθῆναι, οὗ τὸ ἐναντίον συγκριθῆναι ἤγουν εἰς ἓν καὶ ταὐτὸν ἐλθεῖν· ἐπὶ δὲ τοῦ ἀποδοῦναι τὴν ἐρώτησιν ἀποκρίνασθαι λέγε. Ὅτι τῶν λαχάνων αἱ ἄνθαι ὄρμενα καλοῦνται, καὶ ἐξορμενίζειν τὸ βλαστάνειν καὶ ἐξανθεῖν.

81 Ἀσφάραγον, οὐκ ἀσπάραγον. Ἐκ παλαιοῦ, οὐχὶ ἀπὸ πάλαι ἢ ἔκπαλαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

89 Ἐπὶ πολῆς, οὐ μετὰ τῆς ἕξ. Ἀνατέλλει ὁ ἥλιος, ἐπιτέλλει δὲ ὁ Κύων ἢ ἄλλο τι.

99 Ἔνδον εἰσέρχομαι βάρβαρον, καὶ ἔσω διατρίβω· ἐρεῖς δὲ ἔνδον διατρίβω, ἔνδον εἰμί, ἔνδον ἐστίν, εἴσω παρέρχομαι. Ἐπίδοξον οὐ τὸν ἐπίσημον, ἀλλὰ τὸν ἐλπιζόμενον καὶ προσδοκώμενον.

105+106 Ἔσχατον, οὐχὶ ἐσχατώτατον· οὐδὲ ἀμεινότερον, καλλιώτερον, κρειττότερον ῥητέον· συγκριτικοῦ γὰρ συγκριτικὸν οὐ γίνεται. Εὑρέσθαι, οὐχ εὕρασθαι.

112 Εὔνως ἔχει μοι μὴ λέγε, ἀλλ' εὐνοϊκῶς. Εὔζωρον κέρασον καὶ εὐζωρότερον, οὐ ζωρότερον.

118 Ἦς ἐν ἀγορᾷ σόλοικον, λέγε οὖν ἦσθα, καὶ ἐὰν ᾖς ἐν ἀγορᾷ. Ἠκηκόεσαν, ἐγεγράφεσαν, ἐπεποιήκεσαν, ἐνενοήκεσαν· ἀλλ' οὐ σὺν τῷ ι, ἐνενοήκεισαν.

120 Ὁ ῥύπος, οὐ τὸ ῥύπος. Μέθυσος ἀνὴρ οὐκ ἐρεῖς, ἀλλὰ μεθυστικός· γυνὴ δὲ μέθυσος.

126 Ἄχαριν ὀσμὴν λέγε, ἀλλ' οὐ βρῶμον. Ἡρακλέα, Θεμιστοκλέα, ἀλλὰ μὴ Ἡρακλῆν.

128 Ἀνέῳγεν ἡ θύρα μὴ εἴπῃς, ἀλλ' ἀνέῳκται. Διεφθορὸς αἷμα μὴ εἴπῃς, ἀλλὰ διεφθαρμένον.

135 Ὅτι ἔνθα τραγῳδοὶ καὶ κωμῳδοὶ ἀγωνίζονται, λογεῖον λέγεται· ἔνθα δὲ οἱ αὐληταὶ καὶ οἱ χοροί, ὀρχήστραν, οὐ θυμέλην. Αἱ νῆες, οὐχ αἱ ναῦς, σόλοικον γάρ· οὐδὲ τὰς νῆας, ἀλλὰ τὰς ναῦς.

141 Εἰσιέναι διὰ τοῦ ε, τὸ δὲ εἰσίτω χωρίς. Κλαδᾶν ἀμπέλους, μὴ κλαδεύειν.

144 Πολίτης, μὴ συμπολίτης. Ῥάπισμα οὐκ ἐν χρήσει· τὸ γὰρ τὴν γνάθον πλατείᾳ τῇ χειρὶ πλῆξαι ἐπὶ κόρρης πατάξαι Ἀθηναῖοί φασιν.

151 Κυνίδιον, οὐ κυνάριον. Ἐδεδίεσαν· καὶ τοῦτο τῆς Λολλιανοῦ Μούσης· σὺ δὲ λέγε ἐδέδισαν.

154 Ἀφείλετο, ἀφειλόμεν, οὐκ ἀφείλατο καὶ ἀφείλαμεν. Ἐπεξιὼν καὶ ἐπέξειμι, οὐχὶ ἐπεξελεύσομαι καὶ ἐπεξελευσόμενος.

160 Δυσωπεῖσθαι· τὸ ἐντρέπεσθαι καὶ μὴ ἀντέχειν δι' αἰδῶ· παρὰ δὲ τοῖς ἀρχαίοις τὴν ὑφόρασιν καὶ τὸ ὑποπτεύειν. Κολάβους τοὺς ἐν τῇ λύρᾳ.

165 Ἀπόνιπτρον, οὐχὶ νίμμα. Μέσα τῶν δακτύλων, οὐ μεσοδάκτυλα· ἐναυτίασα γὰρ ἀκούσας τοῦτο.

170 Μέγα δυναμένους λέγε, οὐ μεγιστάνας. Ἰδιοῦσθαι, οὐκ ἐξιδιάζονται.

174 Αὐτότροφος μὴ λέγε, ἀλλ' οἰκόσιτος· μηδὲ οἰκογενῆ, ἀλλ' οἰκότριβα. Σφυρήτατον, καὶ ὁλόσφυρον, οὐχ ὁλοσφύρατον.

176 Ὀπωρώνης λέγε, οὐχὶ ὀπωροπώλης. Ἐξαμβλῶσαι, οὐκ ἐκτρῶσαι.

184 Ὅτι τὸ ἀναθέσθαι δύο σημαίνει· τὸ μεταγινώσκειν ἐφ' οἷς εἴρηκεν, οἷον „ἀνατίθεμαι εἰς αὖθις τὸ πρᾶγμα", καὶ ἀνατιθέναι τὸ φορτίον. Σταθερὰ μεσημβρία, καὶ σταθερὰ γαλήνη· ἐμβριθὴς δὲ ἄνθρωπος.

186 Ἀναπεσεῖν· οὐ καλῶς ἐπὶ τοῦ ἀνακλιθῆναι τάττεται· ἐὰν δὲ ἐπὶ τοῦ τὴν ψυχὴν ἀδημονῆσαι, καλῶς· ἀνέπεσεν ἄνθρωπος ἤγουν τὴν ψυχὴν ἠθύμησεν. Ἀνάκειται ἀνδριὰς καλῶς ἐρεῖς· ἀνάκειται δὲ ἐπὶ κλίνης οὐκέτι, ἀλλὰ κεῖται.

189 Σκεδάννυται, οὐ σκορπίζεται. Ἐνθήκη ἄτοπον, παρενθήκη δέ.

195 Ἐξυπνισθῆναι πάρες· ἀφυπνισθῆναι δέ. Ἀρτοποιός καὶ ἀρτοπόπος.

197 Βασίλεσσα· οὐδεὶς εἶπε τῶν ἀρχαίων, ἀλλὰ βασίλεια καὶ βασιλίς. Σικχαίνομαι· τῷ ὄντι ναυτίας ἄξιον τοὔνομα· ἀλλ' ἐρεῖς βδελύττομαι.

200 Ἀλεκτρυὼν καὶ ἐπὶ θήλεος καὶ ἐπὶ ἄρρενος. Γλωττίδας αὐλῶν καὶ ὑποδημάτων, οὐ γλωσσίδας.

203 Διώρυγος· οἱ δὲ ἀρχαῖοι διώρυχος. Διόσκοροι, οὐ Διόσκουροι.

207 Ὑστερίζειν τῷ καιρῷ οὐ λέγεται, ἀλλὰ τοῦ καιροῦ. Ἐπαοιδὴ ποιητικόν· σὺ δὲ ἐπῳδὴ λέγε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

215 Διδόασιν, οὐ διδοῦσιν. Πήχεος καὶ πήχεων δέον, οὐ πηχὸς καὶ πηχῶν.

218 Συντυχίαν λέγε, οὐ σύμπτωμα· ἢ οὕτω „συνέπεσεν αὐτῷ τόδε γενέσθαι“. Κατορθῶσαι δόκιμον· τὸ δὲ κατόρθωμα ἀποδιοπομπώμεθα.

220 λέγειν οὖν χρὴ ἀνδραγαθήματα. Ὑπαίθριον, οὐχ ὕπαιθρον.

222 Προδωμάτιον, οὐ προκοιτών, ἐπεὶ δωμάτιον τὸν κοιτῶνα. Ῥοίδιον, οὐ ῥοΐδιον.

229 Στύππιον, οὐ στυππέϊνον. Ἀντίρρησιν μὴ λέγε, ἀντιλογίαν δέ.

233 Καθέζομαι, καθεδοῦμαι, καθεδοῦνται, καθεδούμενος. Υἱέος, υἱέι.

234 υἱέα δὲ μή, ἀλλ᾽ υἱόν. Ἀνέκαθεν ἐπὶ χρόνου φυλακτέον λέγειν, οἷον „ἀνέκαθέν μοί ἐστι φίλοσ“· λέγειν οὖν χρὴ „ἄνωθέν σοι φίλος εἰμί“.

235 τὸ δὲ ἀνέκαθεν, λέγε „ἀνέκαθεν κατέπεσεν“. Ἑκὼν εἶναι οὐ μὴ ποιήσω· ὅσοι δὲ ἐπὶ καταφάσεως, οἷον „ἑκὼν εἶναι ἐποίησα“, ἁμαρτάνουσιν.

240 Ὄρθρον καὶ ὀρθρεύεσθαι τὸ πρὸ ἀρχομένης ἡμέρας, ἐν ᾧ ἔτι λύχνῳ δύναταί τις χρῆσθαι. ὃ οἱ πολλοὶ ἁμαρτάνοντες ὄρθρον λέγουσιν, τοῦτο {ὃ} οἱ ἀρχαῖοι ἕω λέγουσιν. Μάγειρος δόκιμον, τὸ δὲ μαγειρεῖον οὐκέτι, ἀλλ᾽ ὀπτάνιον.

242 Φίλος μοι τυγχάνει ὤν, καὶ ἐχθρός μοι τυγχάνει ὤν. Ἐξετάζειν καὶ παραβάλλειν, οὐ συγκρίνειν οὐδὲ σύγκρισις.

244 Κατ᾽ ἐκεῖνο τοῦ καιροῦ σὺν τῷ ἄρθρῳ. Ἐπέστησεν ἤγουν ἠπόρησεν, καὶ ἐπιστάσεως ἄξιον τὸ πρᾶγμα καὶ ἐπισκέψεως.

250 Ἵνα ἀγάγωσιν, οὐχ ἵνα ἄξωσιν. Καρποὺς ξηροὺς καὶ ὑγρούς, οὐ γεννήματα.

251 Ὑπήντησε, συνήντησε. Ὀνυχίζειν καὶ ἐξονυχίζειν ἐπὶ τοῦ ἀκριβολογεῖσθαι τίθεται· τὸ δ᾽ ἀπονυχίζειν τὸ τὰς ὑπεραυξήσεις τῶν ὀνύχων ἀφαιρεῖν.

261 Φλεΐνα τὰ ἀπὸ τοῦ φλέως πλεκόμενα. Πεποίθησις οὐκ εἴρηται, ἀλλ᾽ εἴ τι πιστεύειν ἢ πεποιθέναι.

264 Ἔγγειον μὴ λέγε, ἀλλ᾽ ἐγγύτερον· ἐπὶ δὲ τοῦ ἐν τῇ γῇ, οἷον „ἔγγυον κτῆμα“, εἴ τις χρῷτο, ἄριστα ἂν χρήσαιτο, ὡς καὶ Δημοσθένης „ἔγγειον τόκον“ λέγει. Ἐξάδελφος ἀποδιοπομπητέον, ὁ ἀνεψιὸς δὲ ῥητέον.

275 Πανδοκεῖον, πανδοκεύς, πανδοκεύτρια. Ἐκτενῶς μή, δαψιλῶς δέ.

285 Πρώτως μὴ λέγε, ἀλλὰ πρῶτον. Παρακαταθήκην, οὐ παραθήκην.

287 Ἀπαράβατον μή, ἀπαραίτητον δέ. Ἀγωγὸν οἱ παλαιοὶ ἐπὶ τοῦ ἡγουμένου τινὰ ὁδόν· οἱ δὲ νῦν ἀγωγοὺς καλοῦσιν τοὺς ὀχετοὺς τῶν ὑδάτων.

291 Καρῆναι καὶ ἐκάρην ἐπὶ προβάτων, κείρασθαι δὲ ἐπὶ ἀνθρώπων. Δεξαμενὴ καὶ δεξαμένη καὶ κολυμβήθρα.

307 Εὐσχήμων ὁ καλὸς καὶ σύμμετρος, οὐχ ὁ πλούσιος. Ἐπίτεξ γυνή, οὐκ ἐπίτοκος.

309 Θετός, οὐκ ἐγκάθετος, ἢ εἰσποιητὸς ἢ ὑποβλητός. Ἡμίκακον μὴ λέγε, ἀλλ᾽ ἡμιμόχθηρον.

315 Κόρυδον, οὐ κορυδαλόν. Καταμύειν, οὐ καμμύειν.

317 Καρατομεῖν· κεφαλοτομεῖν. Λάκαιναν γυναῖκα, Λακωνικὴν δὲ τὴν χώραν.

320 Μιαρὸς ἀρχαῖον. Γαμῴη μὴ λέγε, ἀλλὰ γαμοίη· τὰ γὰρ τῆς πρώτης καὶ τρίτης συζυγίας τῶν περισπωμένων εὐκτικὰ διὰ τῆς οι λέγεται, τὰ δὲ τῆς δευτέρας διὰ τοῦ ω, γελῴη.

323 Τεχνικῶς, οὐκ ἐντέχνως. Τοῦ δίδωμι τὸ μὲν εὐκτικὸν διὰ τῆς οι διφθόγγου, τὸ δὲ ὑποτακτικὸν διὰ τοῦ ω μεγάλου.

325 Ἔδομαι, κατέδομαι, οὐ βρώσομαι. Ἄγαγε, ἀγαγών, ὡς ἄνελε, ἀνελών.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

328 Ἀναίσθητος λέγε, τὸ δὲ ῥῆμα οὔ, τὸ ἀναισθητεύομαι· λέγε οὖν οὐκ αἰσθάνομαι. „Τὸν παῖδα τὸν ἀκολουθοῦντα μετ’ αὐτοῦ“, ὡς Λυσίας λέγει, μὴ εἴπης, ἀλλὰ τὸν ἀκολουθοῦντα αὐτῷ.

331 Βιωτικόν· ἀειδὴς ἡ λέξις· λέγε οὖν χρήσιμον ἐν τῷ βίῳ. Ἐκλιπών, οὐκ ἐκλείψας.

344 Χρηστὸς τὸ ἦθος, οὐ τὰ ἤθη. Οὐ δήπου καὶ μὴ δήπου λέγε· ἀπόβλητον δὲ τὸ οὐχ οἷον καὶ μὴ οἷον.

349 Οἰκίας δεσπότης, οὐχ ὡς Ἄλεξις οἰκοδεσπότης. Οὐδηποτοῦν μὴ λέγε, ἀλλ’ ὁντινοῦν.

352 Πτώματα νεκρῶν ἢ οἴκων. Περίστασις· ἡ συμφορὰ κατὰ Στωϊκούς, οἱ δὲ ἀρχαῖοι τὴν διά τινα τάραχον παρουσίαν πλήθους.

353 „τίς ἥδε κραυγὴ καὶ δόμων περίστασις;“ Σώματα ἐπὶ τῶν ὠνίων ἀνδραπόδων, οἷον „σώματα πωλεῖται“, οὐ χρῶνται 〈 *** 〉 (357) τὰ πρόσωπα.

359 Σύαγρος οὐ ῥητέον, ἀλλὰ σῦν ἄγριον. Συγγνωμονῆσαι οὐ χρὴ λέγειν, ἀλλὰ συγγνῶναι.

361 Σιτομετρεῖσθαι μὴ λέγε, ἀλλὰ σῖτον μετρεῖσθαι. Στηθίνιον ὀρνιθίου οὐχ ὑγιῶς, ἀλλὰ στηθίδιον.

365 Φρονιμεύεσθαι μὴ λέγε, φρονεῖν δὲ τὰ ὄντα. Πεντετηρὶς καὶ πεντετηρικὸς ἀγών.

387 Πεντάμηνον καὶ πεντέμηνον· πεντάπηχυ καὶ πεντέπηχυ· (388) ἑξάπηχυ καὶ ἕξπηχυ, καὶ ἕξπλεθρον, καὶ ἕξπλευρον. Περιεσπάσθην ἐπὶ τοῦ ἐν ἀσχολίᾳ πάνυ κίβδηλον· τὸ γὰρ περισπᾶν καὶ περισπᾶσθαι ἐπὶ τοῦ παραινεῖν καὶ παραινεῖσθαι λέγουσιν· δέον οὖν ἄσχολος λέγειν.

390 Πορνοκόπος καὶ πορνότριψ. Λίθαργος καὶ ἐπιλήσμων.

395 Οἰκοδόμημα, οὐχὶ οἰκοδομή. Ὄναρ ἰδὼν ἢ ἐξ ὀνείρου ὄψεως, οὐ κατ’ ὄναρ, ὥσπερ οὐδὲ καθ’ ὕπαρ.

398 Λιθίδιον, οὐ λιθάριον. Καθό, οὐ καθώς.

400 Κακάβην, οὐ κάκαβον. Θριαλλίς, οὐκ ἐλύχνιον.

409 Τὰ ἐμαυτοῦ πράττω καὶ τὰ σαυτοῦ πρᾶττε, οὐ τὰ ἴδια πράττω καὶ τὰ ἴδια πρᾶττε. Ἐγκρατεύεται, οὐκ ἀκρατεύεται.

411 Αἰχμάλωτον γενέσθαι, οὐκ αἰχμαλωτισθῆναι. Ὠνησάμην· ἔνθα ἂν μὴ δυνηθῇς τὸ πρίασθαι ἢ τὸ ἐπριάμην θεῖναι, ἐκεῖ τὰ ἀπὸ τοῦ εω ῥήματα τάττε· ἔνθα δ’ ἂν τὰ ἀπὸ τοῦ πρίασθαι, φυλάττου θάτερα.

412 οἷον „ὤνημαι οἰκίαν“· ἐνταῦθα γὰρ ἐγχωρεῖ τὸ ἐπριάμην, οὕτω χρήσῃ ἐπριάμην· καὶ ἀνάπαλιν „ἔτυχον ἐωνημένος οἰκίαν ἢ ἀγρόν“· ἐνταῦθα οὐδὲν ἐγχωρεῖ τῶν ἀπὸ τοῦ πρίασθαι· μένει τὸ ἐωνημένος· δεῖ γὰρ λέγειν πριάμενος· τὸ γὰρ ἐωνησάμενος ἀδόκιμον. Ἀνυπόδητος σὺν τῷ η, οὐ σὺν τῷ ε, καὶ ὑποδήσασθαι. [5]

420 Εὕρημα, οὐχ εὕρεμα. Προσδεῖσθαι, οὐ προσδέεσθαι.

422 Ἀπηρτισμένον, ἀπήρτικα, καὶ τὰ ἀπὸ τούτων ἅπαντα σόλοικα· ἀποτελέσθαι καὶ ἀποτελεσμένον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org